Καὶ ἐδόθη καὶ τοῦτο. ἵνα ὅστις ἀναβάλῃ περὶ τῆς τοιαύτης μονῆς. ἵνα ἔχει τὸ ἀνάθεμα. παρουσίᾳ τῶν ἀποσταλέντων παρὰ τοῦ πρώτου. καὶ τοῦ κοινοῦ. οἳ καὶ δηλωθήσονται ἐν τῷ ἰδίῳ τόπῳ. Γραφὲν διὰ χειρὸς Συμεὼν μοναχοῦ καὶ ὑποκτίτου φιλοσόφου † μηνὶ αὐγούστῳ ιη′ ὥρᾳ ἕκτῃ ἰνδ(ικτιῶνος) η′ ἔτους ςυπη′ (6488—980).

† Θωμᾶς μοναχὸς ὁ πρῶτος.

† Ἠλίας μοναχὸς καὶ ἡγούμενος.

† Παῦλος μοναχὸς καὶ ἡγούμενος τοῦ Ξηροποτάμου.

† Θεόδωρος μοναχὸς τοῦ Ξηροκάστρου.

† Νικόλαος μοναχὸς καὶ ἡγούμενος τῆς Χρομιτζένου †.

† Κοσμᾶς μοναχὸς καὶ ἡγούμενος τῆς Ἄρκου μάρτυς ὑπέγραψε τὸν μὲν σταυρὸν ἰδιοχείρως τὸ δὲ ὕφος διὰ τοῦ μαθητοῦ Ἀντωνίου †.

† Εὐθύμιος μοναχὸς καὶ οἰκονόμος τῆς Λαύρας μάρτυς ὑπέγραψε. τὸν μὲν σταυρὸν ἰδιοχείρως τὸ δὲ ὕφος διὰ τοῦ γραφέως.

2-о

† Κατὰ δὲ τὴν κγ′ τοῦ ἰουνίου μηνὸς. παρατυχόντες οἱ ἡγούμενοι τοῦ καθ᾽ἡμᾶς Ἁγίου ὄρους ἐν τῇ σεβασμίᾳ μονῇ τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου τοῦ Ζωγράφου· ὅ τε ὁ τιμιώτατος κύριος Δωσίθεος καὶ μέγας οἰκονόμος τοῦ Ἁγίου ὄρους καὶ ὁ ὁσιώτατος καθηγούμενος τοῦ Κουτλουμουσίου κύριος Γαβριήλ. καὶ ὁ ὁσιώτατος ἡγούμενος τοῦ Μακροῦ κύριος Ἰωαννίκιος. καὶ ὁ τιμιώτατος καθηγούμενος τῆς μονῆς τῶν Νεακυτῶν κύριος Γερμανὸς. καὶ ὁ τιμιώτατος ἡγούμενος τοῦ Κασταμονίτου κύριος Ματθαῖος. καὶ ὁ τιμιώτατος κύριος Παχώμιος. καὶ κληρικὸς τῶν Καρεῶν. Ἐλευθέριος μοναχὸς καὶ ἡγούμενος τοῦ Τροχαλά· Κοσμᾶς μοναχὸς καὶ ἡγούμενος τοῦ Σκορπίου. καὶ ἑτέρων οὐκ ὀλίγων †

